efficietur igitur vt & id cui eſt adiunctum, vna parte medium, & medium vna ſimiliter illud excedat, à quo detractum eſt. Ex hoc ergo cognoſcemus & quid, ab eo detrahendum ſit, qui plus habet: & quid ei qui minus habet, adiungere debeamus. Id enim quo medium excedit, minus habenti addendum eſt: id autem quo exceditur, à maximo eſt detrahendum. Sint æquales inter ſe lineæ A A, & BB, C C: dematúrq. ab A A pars quædam A E, & addatur ei in qua eſt C C: efficiatúrque C D. Quare tota D C C linea excedet E A parte ea in qua eſt C D: & ea in qua eſt C F: excedet igitur etiam mediam, id eſt B B parte C D.

A E A
B B
C F C D

Eſt autem hoc in aliis quoque artibus. tollerentur enim, niſi & quod facit, & quantum & quale faceret: & quod eo afficitur, & tanto & tali afficeretur. Quinetiam nomina hæc damnum & lucrum & ſpontaneis contractibus videntur emerſiſſe. cùm enim quis plus habet, quàm ſuũ erat, lucrum: cùm minus, quàm à principio habuerat, damnum facere dicitur, in vendendo ſcilicet & emendo, aliíſque huiuſmodi, quæ legibus permittuntur. Cùm autem neque plus neque minus, ſed ſua cuique per ſe ipſa euaſerint: ſua ipſorum habere dicuntur, neque damnum pati, neque lucrari cuiuſdam & damni eorum eſt medium, quæ præter ſpontaneum fiunt: cùm æquum quiſque & prius & poſterius habet.

CAPVT VIII.

Videtur autem nonnullis & retaliatio abſolutè & ſimpliciter ius ipſum eſſe: quemadmodum Pythagorei dicebant: ius enim abſolutè eſſe retaliationem definiebant, verùm retaliatio neque ad diſtributiuum ius, neque ad emendatiuum accommodatur. volunt tamen ipſi Rhadamanti quoque hoc ius dicere,

Si contra paſſus fuerit, quod fecerit idem:
Iudicium planè rectum, vindictáque fiet.

Sæpenumero enim diffidet: vt ſi magiſtratum quis gerens percuſſerit, repercutiendus non eſt. ſi autem magiſtratum gerentem quis percuſſerit, non ſolum eſt percutiendus, ſed ſupplicio inſuper afficiendus. adde quòd ſponténe an inuiti fecerimus, multum refert. Sed in communitatibus commercialibus tale ius retaliatum

A εἰ γὰρ ἀφῃρέθη μὲν, μὴ προσετέθη δὲ, ἑνί γ' ἂν μόνον ὑπερεῖχε. τοῦ μέσου ἄρα ἑνὶ, καὶ τὸ μέσον, τὸ ἀφ' οὗ ἀφῃρέθη, ἑνί. τούτῳ ἄρα γνωριοῦμεν, τί τε ἀφελεῖν δεῖ ἀπὸ τοῦ πλέον ἔχοντος, καὶ τί προσθεῖναι τῷ ἔλαττον ἔχοντι· ᾧ μὲν γὰρ τὸ μέσον ὑπερέχει, τοῦτο προσθεῖναι δεῖ τῷ ἔλαττον ἔχοντι· ᾧ δ' ὑπερέχεται, ἀφελεῖν ἀπὸ τοῦ μεγίστου. ἴσαι αἱ ἐφ' ὧν, αα, ββ, γγ,
B ἀλλήλαις· ἀπὸ τῆς αα, ἀφῃρήσθω τὸ αε, καὶ προσκείσθω τῇ γγ, τὸ ἐφ' ὧν γδ. ὥστε ὅλη ἡ δγ, τῆς αε, ὑπερέχει τῷ γδ, καὶ τῷ γζ· τῆς ἄρα ββ, τῷ γδ.

α ε α
β β
γ ζ γ δ

ἔστι δὲ καὶ ἐπὶ τῶν ἄλλων τεχνῶν τοῦτο· ἀνῃ-
C ροῦντο γὰρ ἂν, εἰ μὴ ἐποίει τὸ ποιοῦν καὶ ὅσον καὶ οἷον· καὶ τὸ πάσχον ἔπασχε τοῦτο, καὶ τοσοῦτο, καὶ τοιοῦτο. ἐλήλυθε δὲ τὰ ὀνόματα ταῦτα, ἥ τε ζημία καὶ τὸ κέρδος, ἐκ τῆς ἑκουσίου ἀλλαγῆς· τὸ μὲν γὰρ πλέον ἔχειν, ἢ τὰ ἑαυτοῦ, κερδαίνειν λέγεται· τὸ δ' ἔλαττον τῶν ἐξ ἀρχῆς, ζημιοῦσθαι· οἷον ἐν τῷ πωλεῖν καὶ ὠνεῖσθαι, καὶ ἐν ὅσοις ἄλλοις ἄδειαν ἔδωκεν ὁ νόμος. ὅταν δὲ μήτε πλέον, μήτ' ἔλαττον, ἀλλ'
D αὐτὰ δι' αὐτῶν γένηται, τὰ αὑτῶν φασὶν ἔχειν, καὶ οὔτε ζημιοῦσθαι, οὔτε κερδαίνειν· ὥστε κέρδους τινὸς καὶ ζημίας μέσον τὸ δίκαιόν ἐστι τῶν παρὰ τὸ ἑκούσιον, τὸ ἴσον ἔχειν καὶ πρότερον καὶ ὕστερον.

Κεφάλαιον η.

Δοκεῖ δέ τισι καὶ τὸ ἀντιπεπονθὸς εἶναι
E ἁπλῶς δίκαιον, ὥσπερ οἱ Πυθαγόρειοι ἔφασαν· ὡρίζοντο γὰρ ἁπλῶς τὸ δίκαιον, τὸ ἀντιπεπονθὸς ἄλλῳ. τὸ δ' ἀντιπεπονθὸς, οὐκ ἐφαρμόττει, οὔτ' ἐπὶ τὸ διανεμητικὸν δίκαιον, οὔτ' ἐπὶ τὸ διορθωτικόν· καίτοι βούλονταί γε τοῦτο λέγειν καὶ τὸ Ῥαδαμάνθυος δίκαιον·

Εἴκε πάθοι τά κ' ἔρεξε, δίκη κ' ἰθεῖα γένοιτο.

F πολλαχοῦ γὰρ διαφωνεῖ· οἷον εἰ ἀρχὴν ἔχων ἐπάταξεν, οὐ δεῖ ἀντιπληγῆναι· καὶ εἰ ἄρχοντος ἐπάταξεν, οὐ πληγῆναι μόνον δεῖ, ἀλλὰ καὶ κολασθῆναι. ἔτι, τὸ ἑκούσιον καὶ τὸ ἀκούσιον διαφέρει πολύ. ἀλλ' ἐν μὲν ταῖς κοινωνίαις ταῖς ἀλλακτικαῖς συνέχει τὸ τοιοῦτον δίκαιον